**ἀπόθεσις / depositio**

**1.** Hephaest. 13. 2 sqq. περὶ ἀποθέσεως μέτρων. ἀκατάληκτα καλεῖται μέτρα, ὅσα τὸν τελευταῖον πόδα ὁλόκληρον ἔχει, οἷον [ὡς] ἐπὶ δακτυλικοῦ· (Alcm. 27 [PMG 27]. 1 Page)

Μῶσ᾽ ἄγε Καλλιόπα θύγατερ Διός,

καταληκτικὰ δέ, ὅσα μεμειωμένον ἔχει τὸν τελευταῖον πόδα, οἷον ἐπὶ ἰαμβικοῦ· (Sapph. 117 Voigt)

χαίροισα νύμφα, χαιρέτω δ᾽ ὁ γαμβρός·

ἐνταῦθα γὰρ ἡ βρος τελευταία συλλαβὴ ἀντὶ ὅλου ποδὸς ἰαμβικοῦ κεῖται. ἐὰν δὲ τρισύλλαβος ᾖ ὁ ποὺς ὁ τὸ μέτρον συνιστάς, δύναται καὶ παρὰ δύο συλλαβὰς εἶναι τὸ καταληκτικόν, οἷον ἐπὶ δακτυλικοῦ· (Archil. 182. 2 West)

ἐν δὲ Βατουσιάδης·

ἐνταῦθα γὰρ ἡ δης συλλαβὴ ἀντὶ τρισυλλάβου κεῖται [δακτυλικοῦ]. ἐπὶ δὲ τῶν τοιούτων τὸ μὲν παρὰ συλλαβὴν καλεῖται καταληκτικὸν εἰς δισύλλαβον, τὸ δὲ παρὰ δύο συλλαβὰς καταληκτικὸν εἰς συλλαβήν. Βραχυκατάληκτα δὲ καλεῖται, ὅσα ἀπὸ διποδίας ἐπὶ τέλους ὅλῳ ποδὶ μεμείωται, οἷον ἐπὶ ἰαμβικοῦ· (Alcm. 174 [PMG 174] Page)

ἄγ᾽ αὖτ᾽ ἐς οἶκον τὸν Κλεησίππω·

ἐνταῦθα γὰρ ὁ σιππω ποὺς ἀντὶ ὅλης ἰαμβικῆς κεῖται διποδίας. ὑπερκατάληκτα δὲ ὅσα πρὸς τῷ τελείῳ προσέλαβε μέρος ποδός, οἷον ἐπὶ ἰαμβικοῦ· (mel. adesp. 56 [PMG 974] Page)

εἶμ᾽ ὥτε πυσσάκω λυθεῖσα·

τοῦτο μὲν οὖν συλλαβῇ [πλείονι] περιττεύει· δύναται δὲ καὶ δισυλλάβῳ περιττεύειν, ὁπόταν ἑκάτερος τῶν ἐν τῇ συζυγίᾳ ποδῶν τρισύλλαβος ᾖ, οἷον ἐπ᾽ ἀναπαιστικοῦ· (Teles. 1 [PMG 717].1 Page)

ἄδ᾽ Ἄρτεμις, ὦ κόραι·

τοῦτο γὰρ πρὸς τῇ ὁλοκλήρῳ συζυγίᾳ δισύλλαβον ἔχει [τὸν τελευταῖον], ὅπερ ἀναπαίστου μιᾷ ἐνδεῖ συλλαβῇ. καλοῦνται δὲ ταῦτα πάντα ἀποθέσεις.

Hephaest. 22. 18 sqq. τὰ δὲ αἰολικὰ καλούμενα τὸν μὲν πρῶτον ἔχει πόδα πάντως ἕνα τῶν δισυλλάβων ἀδιάφορον, ἤτοι σπονδεῖον ἢ ἴαμβον ἢ τροχαῖον ἢ πυρρίχιον, τοὺς δὲ ἐν μέσῳ δακτύλους πάντας, τὸν δὲ τελευταῖον πρὸς τὴν ἀπόθεσιν δάκτυλον μὲν ἢ κρητικὸν διὰ τὸ τῆς τελευταίας ἀδιάφορον, ἐὰν ἀκατάληκτον ᾖ, ἐὰν δὲ καταληκτικόν, καὶ τὰ ἀπὸ τούτου μεμειωμένα εἰς δισύλλαβον καὶ συλλαβήν.

Hephaest. 24. 13 sqq. τὸ δὲ ἀναπαιστικὸν κατὰ πᾶσαν χώραν δέχεται σπονδεῖον, ἀνάπαιστον, σπανίως δὲ καὶ προκελευματικόν, παρὰ δὲ τοῖς δραματοποιοῖς καὶ δάκτυλον. εἰσὶ δὲ αὐτοῦ ἀποθέσεις ἓξ κατὰ συζυγίαν διαιρουμένου· ὑπερκατάληκτος εἰς δισύλλαβον, ὑπερκατάληκτος εἰς συλλαβήν, ἀκατάληκτος, καταληκτικὴ εἰς δισύλλαβον, καταληκτικὴ εἰς συλλαβήν, βραχυκατάληκτος.

[Hephaest.] 18$^{b}$ (p. 63) ὁ στίχος (*scil.* ὁ δακτυλικὸς ἑξάμετρος) σύγκειται ἐκ μέτρου, κώλου, τάξεως, ῥυθμοῦ, βάσεως, τόνου, χρόνου, ἄρσεως, θέσεως, πάθους, μερισμοῦ, τῷ γένει μονοειδής, τῷ εἴδει δακτυλικός, ἁπλοῦς καὶ οὐχ

ὁμοιόπους, τῷ μεγέθει ἑξάμετρος, τῇ ἀποθέσει καταληκτικός, εἰς τετρασυλλαβίαν διῃρημένος, εἰς μὲν κατὰ κῶλα εἰς τρία, εἰς δὲ κατὰ πόδας εἰς ἕξ.

[Hephaest.] 45 (p. 100) παρέπεται δὲ τῷ μέτρῳ ἑπτά· γένος, εἶδος, σύνταξις, τομή, μέγεθος, σχέσις καὶ ἀπόθεσις. γένος οὖν μέτρου φαμὲν τὴν πρὸς ἄλληλα τῶν ἀντιπαθῶν ἐπιπλοκήν, ὡς δακτυλικοῦ πρὸς τὸν ἀνάπαιστον.

Choerob. 220. 9 sqq. ἰστέον ὅτι ἀπόθεσις καὶ κατάληξις ταὐτόν ἐστι. περὶ ἀποθέσεως οὖν φησιν οἱονεὶ περὶ καταλήξεως. ἔστι δὲ καὶ γενικὸν ὄνομα ἡ ἀπόθεσις οἱονεί, ὡς εἴρηται, πᾶσα κατάληξις· ἔστι δὲ καὶ ἰδικὸν ἀντὶ τοῦ ἐλάττωσις. λέγει οὖν ποῖά εἰσιν ἀκατάληκτα μέτρα καὶ ποῖα καταληκτικὰ εἰς συλλαβὴν ἢ δύο συλλαβάς ... 221. 18 sqq. διὰ τοῦτο γὰρ καὶ εἰς τὸ ἔπος εἰώθαμεν λέγειν· γένους μέν ἐστι δυαδικοῦ τετρασήμου, εἴδους δακτυλικοῦ, μεγέθους ἑξαμέτρου κατὰ πόδα, σχέσεως τακτικῆς, συντάξεως συνθέτου, ἀποθέσεως καταληκτικῆς τῆς εἰς δισύλλαβον, τομῆς † τῆσδε. ἐπειδὴ κυρίως τὸ μέτρον τοῦ ἔπους δακτυλικόν ἐστι πᾶν (εἰ γὰρ καὶ εὑρίσκεται σπονδεῖος ἐν αὐτῷ, ἀλλ' οὖν δυνάμει καὶ αὐτὸς δάκτυλός ἐστι, τῆς δευτέρας τοῦ σπονδείου μακρᾶς ἀντὶ δύο βραχειῶν οὔσης καὶ κατὰ κρᾶσιν <δύο> βραχειῶν εἰς μίαν μακρὰν συνελθουσῶν) — ἐπειδὴ οὖν δακτυλικόν ἐστι τὸ μέτρον τοῦ ἔπους, κατὰ πόδα ἕνα ἑξάμετρον, ἔχει πέντε τελείους πόδας καὶ δύο συλλαβάς, τουτέστιν ἢ σπονδεῖον ἢ τροχαῖον, τῆς τελευταίας ἀδιαφορούσης, ὡς αὐτὸς μέλλει εἰπεῖν, καλῶς φαμὲν 'ἀποθέσεως καταληκτικῆς τῆς εἰς δισύλλαβον'· καταλήγει γὰρ εἰς δύο συλλαβάς, λείπει δὲ μία, ἵνα γένηται τρισύλλαβον.

Choerob. 233. 22 sqq. εἰπὼν δὲ περὶ τοῦ δακτυλικοῦ ἀναλόγῳ τάξει κέχρηται (*scil.* ὁ Ἡφαιστίων) περὶ τοῦ ἀντιπαθοῦς διαλαμβάνων, λέγω δὴ τοῦ ἀναπαιστικοῦ ἐκ δύο βραχειῶν καὶ μακρᾶς λαμβανομένου. εἶτα λέγει σαφῶς αὐτός (p. 24. 15 sqq.), πόθεν σύγκειται, ὅτι ἓξ ἔχει ἀποθέσεις ἤτοι καταλήξεις, καὶ ἀριθμὸν αὐτῶν παραφέρει καὶ τὰς χρήσεις.

Trich. 378. 1 sqq. εἰσὶ δὲ καὶ τούτου τοῦ μέτρου (*scil.* τοῦ αἰολικοῦ) ἀποθέσεις, τουτέστι καταλήξεις, τοσαῦται, ὅσαι καὶ τοῦ ἁπλῶς δακτυλικοῦ, μόναι τρεῖς.

Trich. 380. 9 sqq. ταῦτα δὲ (*scil.* τὰ λογαοιδικὰ μέτρα) ἐπειδὴ μὴ κατὰ μονοποδίαν ἐπὶ τῷ τέλει μετρεῖται, ὡς ἔφαμεν, διὰ τὸ δέχεσθαι τοὺς τροχαίους δισυλλάβους ὄντας, ἀπόθεσιν μὲν ἤτοι κατάληξιν καταληκτικὴν εἰς δισύλλαβον οὐχ ἕξει, ὡς οὐδὲ τὰ τροχαϊκὰ ἢ ἰαμβικά· ἕξει δὲ ἀκατάληκτον μόνην καὶ ὑπερκατάληκτον.

Trich. 382. 28 sqq. ἀποθέσεις δὲ ἤτοι καταλήξεις τὸ προκείμενον μέτρον (*scil.* τὸ ἀναπαιστικόν) ἔχει ἕξ, διότι καὶ κατὰ διποδίαν μετρεῖται· βραχυκατάληκτον, καταληκτικὸν εἰς συλλαβήν, καταληκτικὸν εἰς δισύλλαβον, ἀκατάληκτον, ὑπερκατάληκτον εἰς συλλαβήν, ὑπερκατάληκτον εἰς δισύλλαβον.

Trich. 385. 31 sqq. ἀποθέσεις δὲ ἤτοι καταλήξεις ἔχει τὰ χοριαμβικὰ καὶ ἁπλῶς τὰ ἐκ τετρασυλλάβων ποδῶν μέτρα, μόνας ταύτας· καταληκτικόν, ὑπερκατάληκτον, ἀκατάληκτον· βραχυκατάληκτον δέ, ὡς οἱ πρὸ ἡμῶν μετρικοί φασιν, οὐ δέχεται, ἵνα μὴ τοῖς ἐκ δισυλλάβων ποδῶν συγκειμένοις μέτροις κατὰ τοῦτο συμπίπτωσιν· ἐκείνων γὰρ ἴδιον τοῦτο. ὥσπερ οὐδὲ καταληκτικὸν εἰς συλλαβὴν καὶ δισύλλαβον· τοῦτο γὰρ τῶν ἐκ τρισυλλάβων ποδῶν βαινομένων μέτρων ἴδιον ἦν. μόνας οὖν ἔχει τὰς εἰρημένας. τὸ μέντοι χοριαμβικὸν μέτρον

καὶ τὰ ἑξῆς πάντα τὰ ἐκ τετρασυλλάβων ποδῶν κατὰ μονοποδίαν μετρεῖται. ἄρχεται δὲ καὶ τοῦτο ἀπὸ τοῦ διμέτρου καταληκτικοῦ, ἵνα μὴ τοῖς ῥηθεῖσι συμπίπτῃ μέτροις. τὸ δὲ καταληκτικόν, εἰ μὲν καθαρόν ἐστι, εἰς δάκτυλον λήγει ἢ ἀμφίμακρον – ⏑ – τὸν κρητικὸν ὀνομαζόμενον ὅς ἐστιν ἐκ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς, οἷον ʻποιέωʼ· εἰ δὲ μεμιγμένον τοῖς ἰάμβοις, <εἰς> ἀμφίβραχυν ⏑ – ⏑, ὅς ἐστιν ἐκ βραχείας καὶ μακρᾶς καὶ βραχείας οἷον ʻἄνακτεςʼ, ἢ εἰς βακχεῖον ⏑ – – , ὅς ἐστιν ἐκ βραχείας καὶ δύο μακρῶν οἷον ʻἀφαιρῶʼ.

Trich. 388. 25 sqq. ὑφίστανται δὲ ἐν τούτῳ τῷ μέτρῳ μονόμετρά τε καὶ δίμετρα καὶ τρίμετρα καὶ τετράμετρα, καὶ μὴν καὶ πεντάμετρα, καταληκτικά, ἀκατάληκτα, ὑπερκατάληκτα· καὶ ταῦτα γὰρ ἀποθέσεις ἔχουσι τρεῖς, ὡς ἔφαμεν, διὰ τὸ ἐκ τετρασυλλάβων συγκεῖσθαι ποδῶν.

Anon. *de metr.* 355. 4 sqq. παρέπεται τοῖς μέτροις ἑπτά, κατὰ ποιὸν καὶ κατὰ ποσόν. καὶ κατὰ μὲν ποιότητα δ΄· γένος, εἶδος, σύνταξις, τομή· κατὰ δὲ ποσότητα τρία· μέγεθος, σχέσις, ἀπόθεσις. καὶ γένος μέν ἐστιν ἐπιπλοκή, ὡς δακτυλικοῦ πρὸς ἀναπαιστικόν.

Anecd. Chis. 10 (p. 20 Mangelsdorf) μέτρον ἐστὶ ποδῶν ἢ βάσεων σύνταξις αἰσθήσει τῇ δι᾽ ἀκοῆς παραλαμβανομένη. παρέπεται τῷ μέτρῳ ἑπτά· γένος, εἶδος, σύνταξις, τομή, μέγεθος, σχέσις, ἀπόθεσις. καὶ κατὰ ποιότητα μὲν τέσσαρα· τὸ γένος καὶ τὸ εἶδος καὶ ἡ σύνταξις καὶ ἡ τομή· κατὰ δὲ ποσότητα τρία· μέγεθος, σχέσις, ἀπόθεσις. γένος ἐστὶ μέτρου ἡ πρὸς ἄλληλα τῶν ἀντιπαθῶν ἐπιπλοκή, ὡς δακτυλικὸν πρὸς ἀναπαιστικόν.

Anon. Harl. 10. 7 sqq. παρέπεται δὲ τῷ μέτρῳ ἑπτά· γένος, εἶδος, σύνταξις, τομή, μέγεθος, σχέσις καὶ ἀπόθεσις. γένος οὖν μέτρου φαμὲν τὴν πρὸς ἄλληλα τῶν ἀντιπαθῶν ἐπιπλοκήν, ὡς δακτυλικοῦ πρὸς τὸν ἀνάπαιστον.

Schol. rec. in Pind. (p. 40. 3 sqq. Abel) ἰστέον ὅτι πάντα τὰ μέτρα πλὴν τοῦ δακτυλικοῦ κατὰ διποδίαν μετρεῖται καὶ ἀνέρχεται μέχρι τοῦ πενταμέτρου. ἔστι δὴ μονόμετρον μὲν τὸ ἔχον πόδας δύο, δίμετρον τὸ ἔχον πόδας τέσσαρας, τρίμετρον τὸ ἔχον ἕξ, τετράμετρον τὸ ἔχον ὀκτώ, πεντάμετρον τὸ ἔχον δέκα, καὶ περαιτέρω οὐ πρόεισι. παντὸς δὲ μέτρου πλὴν τοῦ δακτυλικοῦ ἀποθέσεις ἤτοι καταλήξεις εἰσὶ τέσσαρες· βραχυκατάληκτον, καταληκτικόν, ἀκατάληκτον καὶ ὑπερκατάληκτον.

Schol. A in Hephaest. 112. 15 sq.ἰστέον ὡς, ἐὰν τὰ δακτυλικὰ καὶ ἀναπαιστικὰ βαίνηται κατὰ συζυγίαν, ἔχουσιν ἀποθέσεις ἕξ ... 113. 10 sqq. ἐν δὲ τοῖς ἄλλοις μέτροις αὐτάρκεις αἱ τέσσαρες πλὴν τῆς καταληκτικῆς εἰς δισύλλαβον καὶ ὑπερκαταλήκτου εἰς δισύλλαβον. δισυλλάβων γὰρ ὄντων τῶν ποδῶν τὸ μὲν καταληκτικὸν εἰς δισύλλαβον ἀκατάληκτον ἐστι, τὸ δὲ ὑπερκατάληκτον εἰς δισύλλαβον βραχυκατάληκτον.

Schol. A in Hephaest. 113. 16 sqq. τὸ αὐτό ἐστιν ἀπόθεσις καὶ κατάληξις· <κατάληξις> καὶ γενικόν ἐστιν ἀντὶ τοῦ ἀπόθεσις καὶ ἰδικὸν ἀντὶ τοῦ ἐλάττωσις· ἀπὸ τούτου οὖν τοῦ ἰδικοῦ ὠνόμασται τὸ ἀκατάληκτον καὶ καταληκτικόν· τὸ γὰρ ὑπερκατάληκτον δύναται ἀπὸ τοῦ γενικοῦ.

Schol. A in Hephaest. 129. 1 sq. τουτέστι «πρὸς τὴν ἀπόθεσιν» (Hephaest. p. 22. 21 sq.) οἷον καταληκτικὴν ἔχει ἢ ἀκατάληκτον ἀπόθεσιν.

Schol. A in Hephaest. 164. 18 sqq. (Corinn. 22 [PMG 675] c Page)

πόλιν δ᾽ ἐπράθομεν·

καὶ ταῦτα ἀντισπαστικὰ δίμετρα βραχυκατάληκτα πολυσχημάτιστα· ὁ γὰρ πρῶτος ἀντίσπαστος, ἄνω στρέψας τὸν τελευταῖον τροχαῖον, πεποίηκε καθαρὸν χορίαμβον, τοῦ πρώτου ὄντος τροχαίου· ἡ δὲ ἀπόθεσις ἀντισπαστική.

Schol. B in Hephaest. 262. 3 sqq. διαφέρει στίχος καὶ κῶλον καὶ κόμμα. στίχος μὲν γάρ ἐστι τὸ ὑπὲρ δίμετρον καὶ ἔστι τοῦ μεγέθους τοὔνομα, κῶλον δέ ἐστι καὶ κόμμα τὰ ἐντὸς διμέτρου. ἀλλὰ κῶλον μὲν καλεῖται, ὅταν ὁλόκληροι ὦσιν αἱ συζυγίαι, κόμμα δέ, ὅταν ἀτελεῖς· ὥστε συμβαίνειν τὸν μὲν στίχον εἶναι ἁπάντων μείζωνα, τὸ δὲ κῶλον καὶ τὸ κόμμα ἀποθέσεως ὀνόματα [ὡς συμβαίνειν ἐνίοτε καὶ τοῦ κόμματος].

Schol. B in Hephaest. 266. 15 sqq. ὑφίστανται δὲ ἀπὸ τούτου τοῦ μέτρου (*scil.* τοῦ ἰαμβικοῦ) κατὰ ἀφαίρεσίν τε καὶ πρόσθεσιν μονόμετρα τε καὶ δίμετρα καὶ τρίμετρα καὶ τετράμετρα καὶ πεντάμετρα. ἀποθέσεις δὲ αὐτῶν αἵπερ καὶ πάντων· καὶ γὰρ ἃ μὲν αὐτῶν ἐστὶν ἀκατάληκτα, ἃ δὲ ὑπερκατάληκτα, ἃ δὲ καταληκτικὰ, ἃ δὲ βραχυκατάληκτα.

Schol. B in Hephaest. 268. 19 sqq. πεντάμετρον δὲ (*scil.* ἰαμβικὸν) ὡς τόδε· (cf. Archil. 172. 1 sq. West)

πάτερ Λυκάμβα, ποῖον ἐφράσω λόγον; τίς σὰς παρήειρε φρένας.

ἰστέον γε μὴν ὡς τοῦτο τὸ πεντάμετρον σπάνιόν ἐστι διὰ τὸ μὴ βούλεσθαι τὸν ἴαμβον <ἐπὶ> πλέον τῶν τριάκοντα δύο χρόνων αὔξεσθαι. ἐπεὶ δὲ σπανίζει, οὐδὲ περὶ τῶν ἀποθέσεων αὐτοῦ τι φιλοτεχνήσασθαι ἐφιλοτιμησάμεθα.

Schol. B in Hephaest. 269. 15 sqq. ἔστι δὲ καὶ τὸ τροχαικὸν ὡσαύτως (*scil.* τῷ ἰαμβικῷ μέτρῳ) κατά τε τὰς τῶν ποδῶν παραυξήσεις καὶ τὰς τομὰς καὶ ἔτι τὰς ἀποθέσεις [καὶ μὴν καὶ κατὰ τὸ σεσινῶσθαι τὰς βάσεις οὐ φαύλῳ τινὶ τοῦ ἰαμβικοῦ διαφέρον].

Schol. B in Hephaest. 272. 13 sqq. ἀποθέσεις δὲ τῶν δακτυλικῶν *** ἔχει δὲ (*scil.* τὸ δακτυλικὸν μέτρον) ἀποθέσεις τρεῖς, καταληκτικόν <τε> εἰς συλλαβὴν <καὶ> εἰς δισύλλαβον καὶ ἀκατάληκτον.

Schol. B in Hephaest. 273. 25 sqq. τὸ δὲ δακτυλικὸν αἰολικὸν κατὰ μὲν τὰς ἄλλας χώρας πάσας ἐπιδέχεται ὡσαύτως τῷ κοινῷ τούς τε δακτύλους καὶ σπονδείους [ὁμοίως καὶ κατὰ τὰς ἀποθέσεις], τὸν δὲ πρῶτον πόδα ἔχει ἕνα τῶν δισυλλάβων ἀδιάφορον.

Schol. B in Hephaest. 275. 15 sqq. τὸ δὲ ἀναπαιστικὸν κατὰ διποδίαν μὲν βαίνεται, κατὰ πᾶσαν δὲ χώραν δέχεται ἀδιαφόρως σπονδεῖον καὶ ἀνάπαιστον, σπανίως δὲ καὶ προκελευσματικόν, παρὰ δὲ τοῖς δραματοποιοῖς καὶ ἴαμβον καὶ δάκτυλον. ἔχει δὲ καὶ ἀποθέσεις ἕξ, βραχυκατάληκτον, καταληκτικὸν εἰς συλλαβήν, καταληκτικὸν εἰς δισύλλαβον, ἀκατάληκτον, ὑπερκατάληκτον εἰς συλλαβήν, ὑπερκατάληκτον εἰς δισύλλαβον.

Schol. B in Hephaest. 278. 7 κατάληξις καὶ ἀπόθεσις.

Apthon. GL VI 62. 5 sqq. sed metra magis gaudent catalecticis conclusionibus. proprie autem iambica metra gaudent acatalectis et catalecticis et hypercatalectis conclusionibus, adversantur autem brachycatalectis. trochaica vero

hypercatalectis reiectis residuas conclusiones admittunt. choriambica autem et antispastica isdem conclusionibus, quibus etiam iambica, laetantur. ionica autem trochaicis depositionibus sociantur, et ideo hypercatalecta illis exosa sunt. dactylica vero et anapaestica magis acatalectis delectantur. praeter has autem depositiones est aeque quae δικαταληξία nominatur, cum ex diversis metris versus sub unius figura componitur. nam si sit dactylica tetrapodia et ithyphallicus, id est si post quattuor dactylicos pedes tres continui trochaei subiciantur, isque versus quasi uniformis pronuntietur, δικαταληξίαν patitur, quoniam quarto pede dactylico et pars orationis et acatalecti metri finis includitur, atque ita rursum trochaicum dimetrum brachycatalectum adiungitur, quod ithyphallicum nominatur, ut est:

tunc et amoris amor venit improbus aliger Cupido.

occasio suggerit hoc loco etiam illud dicere, quaedam metra familiariter propriis pedibus terminari. nam iambica acatalecta iambis, catalectica iambo superfluente syllaba; similiter trochaica et anapaestica suis libentius terminantur. contra quaedam alienis depositionibus gaudent, ut antispastica et choriambica iambicis coniugationibus, ionica autem utraque trochaicis, siquidem sint his finitima et familiaria metra singula singulis: non enim solum in fine ponuntur, sed et in medietate versuum et inter initia coniunguntur.

Apthon. GL VI 71. 13 sqq. trochaeus numero tantum syllabarum spondeo congruens, velut alienus ab his, semper in extima parte versus (*scil.* heroici) locabitur. super quo etiam nunc inter grammaticos lis pendet. nam qui eum adserunt, ferunt pulchriorem versum epicum effici, si κατάληξιν habeat, id est si trochaeo claudente terminetur, ut persuadeant dactylicis pedibus familiariter trochaeos in depositionibus coniugari.

Apthon. GL VI 88. 4 sqq. coniugatio antispasti, ut Iuba noster (fr. 101 Hense) atque alii Graecorum opinionem secuti referunt, non semper ita perseverat, ut in principio pedis iambus collocetur. indifferenter enim auctores lyrici metro antispastico initia praestituerunt: saepe enim pro iambo primo aut spondeus aut trochaeus aut pyrrichius ponitur, quarum differentiarum exempla promemus. nam si sit iuxta legem pedis ex iambo [et trochaeo] initium metri, fit purum antispasticum metrum acatalectum, quod tamen iambica depositione concluditur, ut: (cf. Ov. *met.* VIII 270)

erat sus Calydonius edax et fera belva.

Apthon. GL VI 131. 13 sqq. sic est et hic versus (*scil.* sotadeus):

equitum peditum proelia tela pila pugnas.

nam primus est anapaestus, secundus pariambus, tertius spondeus, quartus pariambus, deinde loco spondei et pariambi, contra quam ionicorum ratio patitur, duo trochaei, qui tamen mensura temporum spondei ac pariambi spatium exaequant, cum habeant inter se duas longas ac totidem breves. desinit autem spondeo, quia constat ex <duabus> longis vel quia omnis depositio recipit moram.

Atil. Fortvn. GL VI 281. 10 sqq. depositio est, qua perspicitur, qua specie metrum finiatur. depositionis genera sunt quattuor: aut enim ἀκατάληκτον

est, quando plenum metrum sive versus est; aut καταληκτικόν, quando syllaba deest; aut βραχυκατάληκτον, quando pes deest; aut ὑπερκατάληκτον, quando pes et syllaba deest.

Prisc. GL III 459. 1 sqq. (Verg. *Aen*. I 1):

arma virumque cano Troiae qui primus ab oris.

versus genere uniformis, specie dactylicus, compositione simplex, nec similis pedibus, depositione terminalis in disyllabum, qui dividitur in caesuras per cola quidem in novem, per commata vero in duas, semiquinariam et semiseptenariam, per pedes in quinque … 25 sqq. quid est depositione terminalis in disyllabum? catalecticos dicunt, quibus deest in fine aliquid, acatalectos, quibus nihil deest. heroicus autem, qui legitimos habet dactylos, qui trisyllabi sunt, ideo in disyllabum vult desinere et minuit in fine unam syllabam, ne sit impedimento sequenti versui, quin celeriter incipiat. praeterea dicuntur hypercatalecti, quibus abundat una vel duae syllabae, ut novenarium pindaricum, quod, cum sit dimetrum iambicum, habet tamen unam syllabam plus in fine: Horatius: (*carm*. I 9. 3)

silvae laborantes geluque.

brachycatalecti dicuntur in iambicis et similibus, quibus deest una vel duae syllabae, ut est senarium iambicum colobon, ut Horatius: (*carm*. II 18. 2)

mea renidet in domo lacunar.

Avdax GL VII 332. 15 sq. metro quot accidunt? octo, id est genus, species, diversitas, dispositio, pertinentia, mensura, caesura, depositio … 333. 18 sqq. depositio quid est? cum finis versus consideratur. huius species sunt quattuor, id est catalexis, acatalexis, brachycatalexis, hypercatalexis. harum ratio talis est: <acatalexis> est, cum versus legitimo fine, id est pleno temporum numero, terminatur; catalexis est, cum una syllaba uni cuique metro deesse videtur; brachycatalexis est, cum pedem minus habet; hypercatalexis est, cum pedem plus aut syllabam habet.

Ivl. Tol. 226. 110 sqq. quot sunt depositiones versus dactylici hexametri heroici? quattuor. quae sunt? catalexis, acatalexis, brachycatalexis et hypercatalexis.

**2.** Schol. in Aesch. *Ag*. 40b (I, p. 99. 7 sqq. Smith) ἡμέτερα + δέκατον μὲν ἔτος] τὰ τοιαῦτα εἴδη τῶν χορῶν, ὡς εἴρηται καὶ ἐν τῆι ἀρχῆι τοῦ τῶν Περσῶν δράματος, ἑτέρως εἰσὶν ἐσχηματισμένα. τὰ μὲν γάρ εἰσι μονοστροφικὰ καὶ συστηματικὰ ἐξ ὁμοίων κατὰ περιορισμοὺς ἀνίσους, τὰ δὲ κατὰ σχέσιν. εἰσὶ δὲ τὰ κατὰ σχέσιν στροφῶν ἕξ. ἔστι δὲ τῆς παρούσης μονοστρόφου στροφῆς τὰ κῶλα ἀναπαιστικὰ ξδʹ, ὧν τὰ μέν εἰσι δίμετρα ἀκατάληκτα, τὰ δὲ μονόμετρα, τὰ δὲ τῶν ἀποθέσεων δίμετρα καταληκτικὰ ἤτοι ἑφθημιμερῆ. ἐπὶ ταῖς ἀποθέσεσι πάσαις παράγραφος.

Schol. in Aesch. *Ag*. 258a (I, p. 119. 3 sqq. Smith) ἡμέτερον + ἥκω σεβίζων] αἱ ἑξῆς αὗται συστηματικαὶ περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ϙζʹ, ὧν τελευταῖος· (v. 354)

χάρις γὰρ οὐκ ἄτιμος εἴργασται πόνων. ἐπὶ ταῖς

ἀποθέσεσι παράγραφος καὶ ἐπὶ τῶι τέλει κορωνὶς εἰσιόντος <τοῦ> χοροῦ.

Schol. in Aesch. *Ag*. 355b (I, p. 128. 12 sqq. Smith) ἡμέτερα + ὦ Ζεῦ βα-

σιλεῦ] εἴρηται ἡμῖν ἐν τῶι τῶν Περσῶν δράματι περὶ τοῦ εἴδους τούτου τῶν χορῶν. ὅμοιον γάρ ἐστιν ἐκείνοις καὶ τοῦτο. ἔχει γὰρ ἐν ἀρχῆι μὲν σύστημα ἐπιφθεγματικὸν εἰς δύο διηιρημένον περιόδους κώλων ἀναπαιστικῶν ιβʹ, ἑξῆς δὲ στροφὰς τρεῖς καὶ ἀντιστροφὰς τοσαύτας καὶ ἐπωιδόν. καλεῖται δὲ ταῦτα ἑπτὰς ἐπωιδική. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῶι τέλει τῆς ἐπῳδοῦ κορωνὶς καὶ παράγραφος.

Schol. in Aesch. *Ag.* 489a (I, p. 140. 10 sqq. Smith) ἡμέτερα + τάχ᾽ εἰσόμεσθα] αἱ συστηματικαὶ αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ρϙβʹ ὧν τελευταῖος· (v. 680)

τοσαῦτ᾽ ἀκούσας ἴσθι τ᾽ ἀληθῆ κλύειν.

ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῶι τέλει πάντων κορωνὶς εἰσιόντος τοῦ χοροῦ.

Schol. in Aesch. *Ag.* 782b (I, p. 163. 12 sqq. Smith) + ἄγε δή, βασιλεῦ] σύστημα ἐπιφθεγματικὸν μετὰ τὰς στροφὰς καὶ ἀντιστροφὰς εἰς δύο περιόδους διηιρημένον κώλων ἀναπαιστικῶν κζʹ, ὧν τὸ βʹ, τὸ εʹ καὶ τὸ καʹ μονόμετρα, τὰ λοιπὰ δίμετρα ἀκατάληκτα, τὰ δὲ ἐν ταῖς ἀποθέσεσι τῶν περιόδων καταληκτικὰ ἤτοι ἑφθημιμερῆ. ἐπὶ τῆι ἀποθέσει τῆς πρώτης περιόδου παράγραφος, ἐπὶ δὲ τῆς βʹ κορωνίς, ὑποχωρήσαντος τοῦ χοροῦ.

Schol. in Aesch. *Ag.* 810a (I, p. 165. 29 sqq. Smith) + πρῶτον μὲν Ἄργος] αἱ περίοδοι αὗται αἱ συστηματικαὶ στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ρξεʹ, ὧν τελευταῖος· (v. 974)

μέλοι δέ τοι σοὶ τῶνπερ ἂν μέλλῃς τελεῖν.

ἐπὶ ταῖς ἀποθέσεσιν ἑκάστης περιόδου παράγραφος, ἐπὶ δὲ τῷ τέλει πασῶν κορωνίς, ὑποχωρούντων τῶν ὑποκριτῶν.

Schol. in Aesch. *Ag.* 1035a (I, p. 183. 18 sqq. Smith) + αἱ συστηματικαὶ αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων λζʹ, ὧν τελευταῖος· (v. 1071)

ἑκοῦσ᾽ ἀνάγκῃ τῇδε καίνισον ζυγόν.

ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς.

Schol. in Aesch. *Ag.* 1072b (I, p. 185. 15 sqq. Smith) ἡμέτερον + ὀτοτοτοῖ] αἱ περίοδοι αὗται πᾶσαι καλοῦνται ὡς εἴρηται ἀλλοιόστροφοι. εἰσὶ δὲ τῶν μὲν στροφῶν καὶ ἀντιστροφῶν τὰ κῶλα ἀντισπαστικὰ ἐν οἷς καὶ πεντασύλλαβοι πόδες εὑρίσκονται. εἰσὶ δὲ ἐν ταῖς τοιαύταις στροφαῖς καὶ στίχοι ἰαμβικοὶ τρίμετροι, τῶν δὲ συστημάτων πάντες ἰαμβικοὶ τρίμετροι. ἐπὶ ταῖς ἀποθέσεσι τῶν μὲν στροφῶν παράγραφος καὶ διπλαῖ συνήθως, τῶν δὲ ἀντιστροφῶν παράγραφος μόνη, ὡσαύτως καὶ ἐπὶ τῶν συστημάτων.

Schol. in Aesch. *Ag.* 1178 (I, p. 192. 2 sqq. Smith) ἡμέτερον + καὶ μὴν ὁ χρησμός] αἱ συστηματικαὶ αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ρμθʹ ὧν τελευταῖος· (v. 1330)

καὶ ταῦτ᾽ ἐκείνων μᾶλλον οἰκτείρω πολύ.

μετὰ δὲ τὸν λγʹ κῶλον ἰαμβικὸν δίμετρον ἀκατάληκτον, μετὰ δὲ τὸν ρκζʹ κῶλον ὅμοιον μονόμετρον βραχυκατάληκτον, μετὰ δὲ τὸν ρλδʹ κῶλον ὅμοιον μονόμετρον ἀκατάληκτον. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς.

Schol. in Aesch. *Ag.* 1372 (I, p. 198. 25 sqq. Smith) ἡμέτερον + πολλῶν πάροιθεν] αἱ συστηματικαὶ αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων λε′, ὧν τελευταῖος· (v. 1406)

ἔργον δικαίας τέκτονος τάδ᾽ ὧδ᾽ ἔχει.

ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος.

Schol. in Aesch. *Ag.* 1448b (I, p. 201. 32 sqq. Smith) ἡμέτερον + φεῦ τίς ἄν] αἱ συστηματικαὶ αὗται πᾶσαι περίοδοι καλοῦνται ἀλλοιόστροφοι. εἰσὶ δὲ τὰ μὲν τῶν στροφῶν κῶλα χοριαμβικά, τὰ δὲ τῶν συστημάτων τῶν μεταξὺ ἀναπαιστικά. ἐπὶ ταῖς ἀποθέσεσιν πάσαις παράγραφος, ἐπὶ δὲ τῶι τέλει διπλαῖ δύο ἔξω νενευκυῖαι συνήθως.

Schol. in Aesch. *Ag.* 1577a (I, p. 204. 18 sqq. Smith) + ἡμέτερον. ὦ φέγγος εὔφρον] αἱ συστηματικαὶ αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων οβ′, ὧν τελευταῖος· (v. 1648)

ἀμφοῖν γένηται τοῖνδε παγκρατὴς φονεύς.

ἐπὶ ταῖς ἀποθέσεσι πάσαις καὶ ἐπὶ τῶι τέλει ὁμοίως παράγραφος.

Schol. in Aesch. *Ag.* 1649 (I, p. 206. 4 sqq. Smith) ἡμέτερον + ἀλλ᾽ ἐπεὶ δοκεῖς] ἔκθεσις τοῦ δράματος. οἱ δὲ στίχοι εἰσὶ τροχαϊκοὶ κε′ ὧν οἱ κγ′ τετράμετροι καταληκτικοί. οἱ δὲ ἐν τῶι τέλει δύο τρίμετροι ὑπερκατάληκτοι. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῶι τέλει τοῦ δράματος κορωνὶς ἡ τὸ δρᾶμα ἐπισφραγίζουσα καὶ περατοῦσα.

Schol. in Aesch. *Eum.* 1a (I, p. 207. 9 sqq. Smith) ἡμέτερον + ἡ εἴσθεσις τοῦ παρόντος δράματος ἐκ συστηματικῶν ἐστι περιόδων. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ρλγ′, ὧν τελευταῖος· (v. 138)

ἕπου μάραινε δευτέροις διώγμασι.

μετὰ δὲ τὸν ρις′, τὸν ριη′, τὸν ρκ′, τὸν ρκβ′ κώλου τμήματα δ′, ἃ μονόμετρά ἐστι βραχυκατάληκτα. μετὰ δὲ τὸν ρκδ′ ἕτερα β′ κῶλα ὧν τὸ ἓν δίμετρον βραχυκατάληκτον, τὸ δὲ ἕτερον ἑφθημιμερὲς ἐκ τριβραχέων. εἰ δὲ καὶ τροχαϊκὰ τὰ κῶλα ταῦτα εἴποις, οὐκ ἂν ἁμάρτῃς. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῶι τέλει κορωνίς.

Schol. in Aesch. *Eum.* 140a (I, p. 210. 32 sqq. Smith) ἡμέτερον + ἔγειρ᾽ ἔγειρε] καὶ τὰ παρόντα εἴδη τοῦ χοροῦ τοιαῦτά ἐστιν, οἷα πολλάκις εἴρηται. ἔχει γὰρ ἐν ἀρχῇ σύστημα ἐπιφθεγματικὸν στίχων ἰαμβικῶν τριμέτρων γ′, ἑξῆς δὲ κατὰ σχέσιν στροφὰς καὶ ἀντιστροφὰς γ′ ὧν τῆς μὲν πρώτης στροφῆς τὰ κῶλα ζ′ καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα, τῆς δευτέρας ὁμοίως ζ′ καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα, τῆς δὲ τρίτης ε′ καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα· ἃ καὶ μετρήσεις τοῖς προτέροις ἑπόμενος. εἰσὶ δ᾽ ἐν τούτοις καὶ ἰαμβικοὶ τρίμετροι πολλοί. ἐπὶ ταῖς ἀποθέσεσι τῶν στροφῶν καὶ ἀντιστροφῶν παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς.

Schol. in Aesch. *Eum.* 179 (I, p. 212. 12 sqq. Smith) ἡμέτερον + ἔξω κελεύω] αἱ συστηματικαὶ αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ξε′, ὧν τελευταῖος· (v. 243)

αὐτοῦ φυλάσσων ἀναμένω τέλος δίκης.

ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς.

Schol. in Aesch. *Eum.* 244a (I, p. 213. 16 sqq. Smith) ἡμέτερον + εἶεν· τόδ᾽ ἐστὶ τἀνδρός] καὶ τὰ παρόντα εἴδη τοῦ χοροῦ τοιαῦτά ἐστιν, οἷα πολλάκις εἴρηται· ἔχει γὰρ ἐν ἀρχῇ σύστημα ἐπιφθεγματικὸν στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ι′, ἑξῆς δὲ στροφὴν μονόστροφον κώλων κβ′, ἃ καὶ μετρήσεις τοῖς προτέροις ἑπόμενος. ἐν οἷς εἰσι καὶ ἰαμβικοὶ τρίμετροι. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς.

Schol. in Aesch. *Eum.* 276 (I, p. 214. 3 sqq. Smith) ἡμέτερον + ἐγὼ διδαχθείς] αἱ συστηματικαὶ αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων λα′ ὧν τελευταῖος· (v. 306)

ὕμνων ἀκούσῃ τῶνδε δεσμίων σέθεν.

ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς.

Schol. in Aesch. *Eum.* 397 (I, p. 215. 13 sqq. Smith) ἡμέτερον + πρόσωθεν ἐξήκουσα] αἱ συστηματικαὶ αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ϙγ′, ὧν τελευταῖος· (v. 488)

ἥξω διαιρεῖν τοῦτο πρᾶγμ᾽ ἐτητύμως.

ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῶι τέλει κορωνίς.

Schol. in Aesch. *Eum.* 490b (I, p. 215. 20 sqq. Smith) ἡμέτερον + νῦν καταστροφαί] τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται προωιδικά, ὡς εἴρηται. ἔχει δὲ τὰ παρόντα προωιδὸν καὶ στροφὰς τρεῖς καὶ ἀντιστροφὰς τοσαύτας. εἰσὶ δὲ τῆς μὲν προῳδοῦ τὰ κῶλα η′, τῆς πρώτης στροφῆς ιβ′ καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα· ἧστινος δὴ στροφῆς μετὰ τὸ τέλος κῶλά ἐστι δύο, ἃ καλεῖται ἐφύμνιον ἢ μεσύμνιον, ὥς φασιν. τῆς δευτέρας στροφῆς τὰ κῶλα ια′ καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα, τῆς δὲ τρίτης η′ καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. ἐπὶ ταῖς ἀποθέσεσιν ἑκάστης στροφῆς καὶ ἀντιστροφῆς παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς.

Schol. in Aesch. *Eum.* 566 (I, p. 216. 16 sqq. Smith) ἡμέτερον + κήρυσσε κῆρυξ] αἱ συστηματικαὶ αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ρμθ′, ὧν τελευταῖος· (v. 777)

σωτήριόν τε καὶ δορὸς νικηφόρον.

ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς.

Schol. in Aesch. *Eum.* 881b (I, p. 217. 16 sqq. Smith) + οὔτοι καλοῦμαι] σύστημα ἕτερον κατὰ περικοπὴν ἀνομοιομερὲς στίχων ἰαμβικῶν τριμέτρων ια′. ἐπὶ τῷ τέλει παράγραφος. καὶ οἱ ἑξῆς στίχοι ὅμοιοι εἰσὶν ἰαμβικοὶ τρίμετροι κδ′. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς.

Schol. in Aesch. *Pers.* 1 (p. 30. 6 sqq. Massa Positano) ἡμέτερον † τάδε μὲν Περσῶν] τὰ παρόντα εἴδη τοῦ χοροῦ ἑτέρως εἰσὶν ἐσχηματισμένα, ὡς καὶ ἀλλαχοῦ εἴρηται· τὰ μὲν γάρ εἰσι μονοστροφικὰ καὶ συστηματικὰ ἐξ ὁμοίων κατὰ περιορισμοὺς ἀνίσους (σύστημα δέ ἐστιν, ὡς Ἡφαιστίων φησί [p. 63. 4 sq.], μέτρων συναγωγὴ ἢ δύο ἢ πλειόνων, ἢ ὁμοίων ἢ ἀνομοίων) τὰ δὲ κατὰ σχέσιν· εἰσὶ δὲ κατὰ σχέσιν στροφῶν πέντε· τοῦ τοιούτου ἐστὶ σχήματος καὶ τό·

Τελαμώνιε παῖ, τῆς ἀμφιρύτου Σαλαμῖνος

ἐν Αἴαντι Σοφοκλέους (v. 134) καὶ ἐν Φοινίσσαις Εὐριπίδου τό·

Τύριον οἶδμα λιποῦσα,

ὡς καὶ ἐν ἑτέροις εἴρηται. ἔστι δὲ τῆς παρούσης μονοστρόφου στροφῆς τὰ κῶλα

ξε′, τὸ δὲ μέτρον ἀναπαιστικὸν λακωνικὸν καλούμενον διὰ τὸ τὸν Λάκωνα Ἀλκμᾶνα πολλάκις τούτῳ χρήσασθαι· εἰσὶ δὲ τὰ μὲν τῶν κώλων δίμετρα ἀκατάληκτα, τὰ δὲ τῶν ἀποθέσεων δίμετρα καταληκτικά, ἃ καλεῖται παροιμιακά, τὸ μέντοι ς′, τὸ ια′, τὸ κγ′, τὸ λ′, τὸ λβ′, τὸ νη′ καὶ ξα′ μονόμετρα ἤτοι ἀναπαιστικὴ βάσις· πάντων δὲ τελευταῖον· (v. 64)

τείνοντα χρόνον τρομέονται.

ἐπὶ ταῖς ἀποθέσεσι πάσαις παράγραφος. τοῦ αὐτοῦ Μαγίστρου σχόλια.

Schol. in Aesch. *Pers*. 159 (p. 38. 25 sqq. Massa Positano) + ταῦτα δὴ λιποῦσα] ἡ συστηματικὴ αὕτη περίοδος στίχων ἐστὶν ὁμοίων τροχαικῶν τετραμέτρων καταληκτικῶν ιζ′· ὧν τελευταῖος· (v. 175)

εὐμενεῖς γὰρ ὄντας ἡμᾶς τῶνδε συμβούλους καλεῖς.

ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος.

Schol. in Aesch. *Pers*. 215 (p. 41. 10 sqq. Massa Positano) ἡμέτερον + οὔ σε βουλόμεσθα] αἱ συστηματικαὶ αὗται περίοδοι στίχων εἰσὶ τροχαικῶν τετραμέτρων καταληκτικῶν λδ′· ὧν τελευταῖος· (v. 248)

εἰ φέρει σαφές τι πρᾶγος ἐσθλὸν ἢ κακὸν κλύειν.

ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος· ἐπὶ δὲ τῷ τέλει κορωνὶς ἑτέρου εἰσιόντος ὑποκριτοῦ.

Schol. in Aesch. *Pers*. 290 (p. 45. 12 sqq. Massa Positano) ἡμέτερον + σιγῶ πάλαι δύστηνος] αἱ ἑξῆς συστηματικαὶ αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων σμβ′· ὧν τελευταῖος· (v. 531)

μὴ καί τι πρὸς κακοῖσι πρόσθηται κακόν.

ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος· ἐπὶ δὲ τῷ τέλει κορωνὶς ἐξιόντων τῶν ὑποκριτῶν καὶ εἰσιόντος τοῦ χοροῦ.

Schol. in Aesch. *Pers*. 759 (p. 61. 18 sqq. Massa Positano) ἡμέτερα. †τοιγάρ σφιν] αἱ ἑξῆς αὗται συστηματικαὶ περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ςγ′, ὧν τελευταῖος· (v. 851)

οὐ γὰρ τὰ φίλτατ᾽ ἐν κακοῖς προδώσομεν.

ἐπὶ ταῖς ἀποθέσεσι τῶν συστημάτων παράγραφος· ἐπὶ δὲ τῷ τέλει πάντων κορωνίς, εἰσιόντος τοῦ χοροῦ.

Schol. in Aesch. *Prom*. hyp. (p. 3 Smyth) + ἡ εἴσθεσ<ις τοῦ παρόντος> δράματος ἐκ συστημ<ατικῆς> ἐστι περιό<δου.> οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι πζ′, <ὧν τε>λ<ευταῖος·> (v. 87)

ὅτῳ τρόπῳ τῆσδ᾽ ἐκκ<υλισθήσῃ> τέχνης.

ἐπὶ ταῖς ἀποθέσ<εσι παρά>γραφος, ἐπὶ δὲ τῷ τέλει κο<ρωνὶς> ἀναχωρησάντων τῶν ὑποκρι<τῶν>.

Schol. in Aesch. *Prom*. 193 (p. 17 Smyth) + πάντ᾽ ἐκκάλυψον] αἱ συστηματικαὶ αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων πδ′, ὧν τελευταῖος· (v. 276)

πρὸς ἄλλο τ᾽ ἄλλον πημονὴ προσιζάνει.

ἐπὶ ταῖς ἀποθέσεσι καὶ τῷ τέλει παράγραφος.

Schol. in Aesch. *Prom*. 298 (p. 23 Smyth) + ἔα· τί χρῆμα] αἱ ἑξῆς αὗται συστηματικαὶ περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ρθ′, ὧν τελευταῖος·

σταθμοῖς ἐν οἰκείοισι κάμψειεν γόνυ.

ἐπὶ ταῖς ἀποθέσεσι τῶν συστημάτων παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνὶς ἐξιόντων τῶν ὑποκριτῶν καὶ εἰσιόντος τοῦ χοροῦ.

Schol. in Aesch. *Prom*. 436 (p. 35 Smyth) + μή τοι χλιδῇ δοκεῖτε] αἱ ἑξῆς αὗται> συστηματικαὶ περίοδοι <στίχων εἰσὶν ἰαμβι>κῶν τριμέτρων <ἀκαταλήκτων ϙʹ>, ὧν τελευταῖος· (v. 525)

δεσμοὺς ἀεικεῖς καὶ δύας ἐκφυγγάνω.

<ἐπὶ ταῖς> ἀποθέσεσι παράγραφος· <ἐπὶ δὲ τῷ> τέλει κορωνὶς ἐξιόντων τῶν ὑποκριτῶν καὶ εἰσιόντος τοῦ χοροῦ.

Schol. in Aesch. *Prom*. 561 (p. 45 sq. Smyth) ἡμέτερον † τίς γῆ, τί γένος] τὰ τοιαῦτα εἴδη καλεῖται μονοστροφικά … εἰσὶν οὖν τῆς παρούσης στροφῆς πάντα τὰ κῶλα λβʹ τὸ αʹ τὸ βʹ καὶ τὸ δʹ ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα. τὸ γʹ καὶ εʹ μονόμετρα ἤτοι ἀναπαιστικὴ βάσις. τὸ ϛʹ δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερές, ὃ καλεῖται παροιμιακόν· τούτῳ γὰρ ἐν ταῖς ἀποθέσεσι τῶν ἀναπαιστικῶν χρῶνται.

Schol. in Aesch. *Prom*. 609 (p. 49 Smyth) + λέξω τορῶς σοι] αἱ ἑξῆς αὗται συστηματικαὶ καὶ ἀμοιβαῖαι περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων οηʹ, ὧν τελευταῖος· (v. 686)

αἴσχιστον εἶναί φημι συνθέτους λόγους.

ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς.

Schol. in Aesch. *Prom*. 696 (p. 55 Smyth) + πρό γε στενάζεις] αἱ ἑξῆς αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ρπʹ, ὧν τελευταῖος· (v. 876)

εἰπεῖν, σύ τ᾽ οὐδὲν ἐκμαθοῦσα κερδανεῖς.

μετὰ δὲ τὸν μϛʹ (v. 741), κῶλον ἰωνικὸν ἡμιόλιον. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς.

Schol. in Aesch. *Prom*. 907 (p. 71 Smyth) + ἦ μὴν ἔτι Ζεύς] αἱ συστηματικαὶ αὗται περίοδοι, καὶ οἱ λοιποὶ ἀμοιβαῖοι στίχοι, ἰαμβικοί εἰσι τρίμετροι ἀκατάληκτοι ρʹλγʹ, ὧν τελευταῖος· (v. 1039)

πείθου, σοφῷ γὰρ αἰσχρὸν ἐξαμαρτάνειν.

ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς.

Schol. in Aesch. *Prom*. 1040 (p. 79 Smyth) ἡμέτερα † εἰδότι τοί μοι] ἡ συστηματικὴ αὕτη ἔκθεσις τοῦ δράματος κώλων ἐστὶν ἀναπαιστικῶν νϛʹ, ὧν τὰ μέν εἰσι δίμετρα ἀκατάληκτα, τὸ θʹ, τὸ ιδʹ, τὸ λαʹ, τὸ λεʹ, τὸ μʹ, καὶ τὸ μδʹ μονόμετρα, τὰ δὲ τῶν ἀποθέσεων δίμετρα καταληκτικά, ἤτοι ἑφθημιμερῆ, ὧν τελευταῖος καὶ παντὸς τοῦ δράματος· (v. 1093)

ἐσορᾷς μ᾽ ὡς ἔκδικα πάσχω.

ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνὶς ἡ καὶ τὸ δρᾶμα περατοῦσα καὶ οἷον ἐπισφραγίζουσα.

Schol. in Aesch. *sept*. 1-77b (II 2, p. 10. 4 sqq. Smith) ἡμέτερα + ἡ εἴσθεσις τοῦ δράματος ἐκ συστηματικῶν ἐστι περιόδων. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι οζʹ ὧν τελευταῖος· (v. 77)

πόλις γὰρ εὖ πράσσουσα δαίμονας τίει.

ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνὶς εἰσιόντος τοῦ χοροῦ T.

Schol. in Aesch. *sept*. 78-150b (II 2, p. 48. 33 sqq. Smith) ἡμέτερον + θρεῦμαι φοβερά] τὸ ξζʹ τροχαϊκὸν πενθημιμερές. ἐπὶ ταῖς ἀποθέσεσι καὶ τῷ τέλει παράγραφος. ταῦτά ἐστι τὰ τῆς μονοστρόφου στροφῆς κῶλα T.

Schol. in Aesch. *sept*. 375-416b (II 2, p. 179. 20 sqq. Smith) ἡμέτερον + λέγοιμ᾽ ἄν] αἱ μονοστροφικαὶ αὗται καὶ συστηματικαὶ περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων μβʹ ὧν τελευταῖος· (v. 416)

εἴργειν τεκούσῃ μητρὶ πολέμιον δόρυ.

ἐπὶ ταῖς ἀποθέσεσιν ἑκάστης περιόδου παράγραφος T.

Schol. in Aesch. *sept*. 1005-1053b (II 2, p. 404. 27 sqq. Smith) ἡμέτερον + δοκοῦντα καὶ δόξαντα] αἱ συστηματικαὶ αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων μθʹ ὧν τελευταῖος· (v. 1053)

ἀλλ᾽ αὐτόβουλος ἴσθ᾽, ἀπεννέπω δ᾽ ἐγώ.

ἐπὶ ταῖς ἀποθέσεσι τῶν συστημάτων παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς T.

Schol. in Aesch. *sept*. 1054-1078b (II 2, p. 418. 20 sqq. Smith) ἡμέτερον + φεῦ φεῦ] ἡ ἔκθεσις τοῦ δράματος ἐκ συστηματικῶν ἐστι περιόδων. τὰ δὲ κῶλά ἐστιν ἀναπαιστικὰ κϛʹ. τὸ αʹ μονόμετρον βραχυκατάληκτον, τὸ θʹ καὶ τὸ κεʹ μονόμετρα ἀκατάληκτα, τὰ λοιπὰ δίμετρα ἀκατάληκτα. τὸ ιθʹ δὲ καὶ τὸ κϛʹ δίμετρα καταληκτικά, ἤτοι ἑφθημιμερῆ, ἃ καλεῖται παροιμιακά. ἐπὶ ταῖς ἀποθέσεσι τῶν συστημάτων παράγραφος, ἐπὶ δὲ τῷ τέλει τοῦ δράματος κορωνὶς ἡ τὸ δρᾶμα περατοῦσα καὶ οἷον ἐπισφραγίζουσα. ὅτι δέχονται καὶ ἴαμβον τὰ ἀναπαιστικὰ δῆλον ἐντεῦθεν· ἐν πολλοῖς γὰρ τῶν παρόντων κώλων εὑρήσεις καὶ ἴαμβον T.

Schol. in Aristoph. *Ach*. 1a (p. 3. 1 sqq. Wilson) Tr τὰ περὶ τῶν μέτρων ταῦτα ἡμέτερά ἐστι Δημητρίου τοῦ Τρικλινίου. ἡ εἴσθεσις τοῦ παρόντος δράματος ἄρχεται ἐκ συστηματικῆς περιόδου καὶ ἑξῆς ἐκ προσώπων ἀμοιβαίων. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι σαʹ, ὧν τελευταῖος· (v. 203)

ἐγὼ δὲ φεύξομαί γε τοὺς Ἀχαρνέας.

μεταξὺ δὲ τούτων κατ᾽ εἰσβολὴν κῶλα δʹ· μετὰ τὸν μβʹ στίχον κῶλον ἰαμβικὸν μονόμετρον ὑπερκατάληκτον ἤτοι πενθημιμερὲς τὸν αʹ ἔχον πόδα ἀνάπαιστον· μετὰ τὸν νθʹ κῶλον ἰαμβικὸν δίμετρον καταληκτικὸν ὃ καλεῖται <ἑφ>θημιμερὲς ἐκ δακτύλου καὶ χορείου· μετὰ τὸν ριαʹ μονόμετρον βραχυκατάληκτον ἐξ ἀναπαίστου· μετὰ τὸν ριβʹ ἕτερον ὅμοιον· καὶ μετὰ τὸν ρκʹ κῶλον ὅμοιον τῷ μετὰ τὸν μβʹ ἤτοι πενθημιμερές. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἐπὶ δὲ τῷ τέλει τῶν στίχων κορωνίς Lh.

Schol. in Aristoph. *av*. 638a. 1 sqq. (p. 102 Holwerda) Tr καὶ μὴν μὰ τὸν Δία] εἴσθεσις περιόδου ἀμοιβαίας ἐκ στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων κʹ, ὧν τελευταῖος· (v. 657)

καὶ Μανόδωρε λαμβάνετε τὰ στρώματα.

ἐν εἰσθέσει δὲ στίχοι ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ γʹ. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος Lh.

Schol. in Aristoph. *av*. 959a. 1 sqq. (p. 150 Holwerda) Tr εὐφημί᾽ ἔστω] εἴσθεσις περιόδου ἀμοιβαίας στίχων λγʹ. εἰσὶν οὖν οἱ πρῶτοι ηʹ ἰαμβικοὶ τρίμετροι. οἱ ἑξῆς δύο ἀσυνάρτητοι παντελῶς καὶ πολυσχημάτιστοι ἀτάκτως τοὺς πόδας κειμένους ἔχοντες. μιμεῖται γὰρ τὸ ἀσυνάρτητον τῶν χρησμῶν. οἱ ἑξῆς

β′ ἰαμβικοὶ τρίμετροι. οἱ ἑξῆς γ′ δακτυλικοὶ ἑξάμετροι ἀκατάληκτοι. οἱ ἑξῆς γ′ ἰαμβικοὶ τρίμετροι. οἱ ἔτι ἑξῆς γ′ δακτυλικοὶ ἑξάμετροι. ὁ ἑξῆς ἰαμβικὸς τρίμετρος. οἱ ἔτι τούτου ἑξῆς β′ δακτυλικοὶ ἑξάμετροι. καὶ οἱ τελευταῖοι γ′ ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι. ἐπὶ ταῖς ἀποθέσεσι καὶ ἐπὶ τῷ τέλει παράγραφος Lh.

Schol. in Aristoph. *av*. 1337a. 1 sqq. (p. 197 Holwerda) Tr γενοίμαν αἰετὸς] εἴσθεσις ἑτέρας περιόδου κώλων καὶ στίχων λζ′. ὧν τὰ πρῶτα β′ ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα. τὸ δὲ γ′ ἰαμβικὸν δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερές. οἱ ἑξῆς β′ ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι. ἑξῆς τούτων ἰαμβικὸν κῶλον μονόμετρον βραχυκατάληκτον. καὶ οἱ ἑξῆς πάντες ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι, ὧν τελευταῖος· (v. 1371)

καὶ πείσομαί σοι. νοῦν ἄρ᾽ ἕξεις νὴ Δία.

ἐπὶ ταῖς ἀποθέσεσι καὶ τῷ τέλει παράγραφος Lh.

Schol. in Aristoph. *av*. 1494a. 1 sqq. (p. 216 Holwerda) οἴμοι τάλας] κορωνὶς εἰσιόντων αὖθις τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι νη′, ὧν τελευταῖος· (v. 1552)

καὶ τὸν δίφρον γε διφροφόρει τονδὶ λαβών.

μετὰ δὲ τὸν ις′ στίχον κῶλον ἰαμβικὸν μονόμετρον ἀκατάληκτον. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς Lh.

Schol. in Aristoph. *av*. 1565a. 1 sqq. (p. 224 Holwerda) Tr τὸ μὲν πόλισμα τῆς] κορωνὶς εἰσιόντων αὖθις τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ρκα′, ὧν τελευταῖος· (v. 1693)

ἀλλὰ γαμικὴν χλαμίδα δότω τις δεῦρό μοι.

μετὰ δὲ τὸν ϛδ′ στίχον κῶλα ἀντισπαστικὰ ϛ′ ἐπιμεμιγμένα διιάμβοις, δισπονδείοις καὶ ἐπιτρίτοις· ὧν τὸ μὲν α′ δίμετρον ἀκατάληκτον, τὰ δὲ ε′ δίμετρα καταληκτικὰ ἤτοι ἑφθημιμερῆ. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς Lh.

Schol. in Aristoph. *av*. 1720a. 1 sqq. (p. 237 Holwerda) Tr ἄναγε, δίεχε, πάραγε] εἴσθεσις μέλους χοροῦ εἰς δύο περιόδους διῃρημένη κώλων ιβ′. εἰσὶ δὲ τῆς μὲν α′ περιόδου κῶλα ϛ′ τροχαϊκὰ ἐπιμεμιγμένα τριβράχεσι καὶ ἰάμβοις. ὧν τὸ α′ δίμετρον ἀκατάληκτον ἐκ τριβραχέων. τὸ β′ ὅμοιον τοῦ α′ ποδὸς τριβράχεος. τὸ γ′ πενθημιμερὲς τοῦ α′ ποδὸς τριβράχεος. τὸ δ′ ὅμοιον τῷ α′ καθαρόν. τὸ ε′ ὅμοιον. τὸ δὲ ϛ′ ἑφθημιμερές. τῆς δευτέρας κῶλα ϛ′ ἀναπαιστικά. ὧν τὸ α′ δίμετρον ἀκατάληκτον. τὸ β′ ἀναπαιστικὴ βάσις. τὸ γ′ πενθημιμερές. τὸ δ′ ὅμοιον τῷ α′. τὸ ε′ ὅμοιον τῷ β′. τὸ δὲ ϛ′ ἑφθημιμερές, ὃ καλεῖται — ὡς εἴρηται — παροιμιακόν. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος Lh.

Schol. in Aristoph. *eq*. 1b (p. 5. 4 sqq. Jones-Wilson) Tr τὰ περὶ τῶν μέτρων ταῦτα ἡμέτερά ἐστι Δημητρίου τοῦ Τρικλινίου. ἡ εἴσθεσις τοῦ παρόντος δράματος εὐθὺς ἐξ ἀμοιβαίων προσώπων ἄρχεται. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ρϙγ′, ὧν τελευταῖος· (v. 196)

καὶ ποικίλως πως καὶ σοφῶς ᾐνιγμένος.

μετὰ τοῦτο δὲ καθ᾽ ὑπερβολὴν στίχοι δακτυλικοὶ ἑξάμετροι ἀκατάληκτοι (κατὰ γὰρ μονοποδίαν μετρεῖται τὸ δακτυλικόν) ε′. ἑξῆς δὲ πάλιν ἐν ἐκθέσει ἕτεροι ὅμοιοι στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι μ′. ἐν ἐκθέσει δὲ τούτων στίχοι

τροχαικοὶ τετράμετροι καταληκτικοὶ ε′, ὧν τελευταῖος· (v. 246)

ἀλλ᾽ ἀμύνου καὶ δίωκε καὶ τροπὴν αὐτοῦ ποιοῦ.

ἐπὶ ταῖς ἀποθέσεσι δὲ παράγραφος, ἐπὶ δὲ τῷ τέλει τοῦ τελευταίου στίχου κορωνίς VatLh.

Schol. in Aristoph. *eq*. 247c (p. 60. 6 sqq. Jones-Wilson) Tr παῖε παῖε τὸν πανοῦργον] εἴσθεσις διπλῆς ἀμοιβαίας ἑτέρων ὑποκριτῶν εἰσιόντων. οἱ δὲ στίχοι εἰσὶ τροχαικοὶ τετράμετροι καταληκτικοὶ λζ′, ὧν τελευταῖος· (v. 283)

καὶ τέμαχος οὗ Περικλῆς οὐκ ἠξιώθη πώποτε.

ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει τῶν στίχων διπλῆ ἔξω νενευκυῖα VatLh.

Schol. in Aristoph. *eq*. 382b (p. 96. 8 sqq. Jones-Wilson) Tr ἦν ἄρα πυρός γ᾽ ἕτερα] κορωνὶς καὶ εἴσθεσις χοροῦ προῳδικὴ ἐκ κώλων παιωνικῶν ἐπιμεμιγμένων κρητικοῖς ζ′· ὧν τὸ πρῶτον τρίμετρον ἀκατάληκτον καθαρόν, τὸ δεύτερον δίμετρον ἀκατάληκτον ἐκ κρητικῶν ἤτοι ἀμφιμάκρων, τὸ τρίτον ὅμοιον τῷ πρώτῳ ἐκ κρητικῶν, τὸ τέταρτον ὅμοιον, τὸ πέμπτον ὅμοιον τῷ δευτέρῳ, τὸ ἕκτον ὅμοιον, τὸ ἕβδομον δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερές. ἐν ἐκθέσει δὲ στίχοι δύο τροχαικοὶ τετράμετροι καταληκτικοί. ἐπὶ <τῷ> τέλει κορωνίς. ἑξῆς σύστημα στίχων ς′. τὰ ἑξῆς γ′ κῶλα τοῦ χοροῦ τροχαικά, ὧν τὰ μὲν β′ δίμετρα ἀκατάληκτα, τὸ δὲ τρίτον καταληκτικὸν ἤτοι ἑφθημιμερές, ὃ καλεῖται εὐριπίδειον, ὡς εἴρηται, ἢ ληκύθιον. οἱ ἑξῆς τούτων δύο στίχοι τροχαϊκοὶ τετράμετροι καταληκτικοί. τὰ ἑξῆς τοῦ χοροῦ κῶλα στίχοι ε′, ὧν τὰ πρῶτα δύο δακτυλικὰ τετράμετρα· κατὰ γὰρ μονοποδίαν μετρεῖται, ὡς εἴρηται· ὁ τρίτος τροχαικὸς τετράμετρος καταληκτικός· τὸ τέταρτον ἰαμβικὸν δίμετρον ἀκατάληκτον· τὸ πέμπτον τροχαϊκὸν ὅμοιον. ἑξῆς δὲ τούτων ἐν ἐκθέσει στίχοι β′ ἰαμβικοὶ τετράμετροι καταληκτικοὶ ὅμοιοι τοῖς ἑξῆς. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς Lh.

Schol. in Aristoph. *eq*. 843e (p. 204. 5 sqq. Jones-Wilson) Tr οὐκ ὦγαθοὶ ταῦτ᾽ ἐστίν] εἴσθεσις ἑτέρας διπλῆς ἀμοιβαίας ἐκ στίχων ἰαμβικῶν τετραμέτρων καταληκτικῶν ξη′, ὧν τελευταῖος· (v. 910)

ἀπομυξάμενος ὦ Δῆμ᾽ ἐμοῦ πρὸς τὴν κεφαλὴν ἀποψῶ.

ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος· ἐπὶ δὲ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα Lh.

Schol. rec. in Aristoph. *nub*. 1b. 1 sqq. (p. 14 Koster) $Tr^2$ ἡ εἴσθεσις τοῦ δράματος ἄρχεται ἐκ συστηματικῆς περιόδου, καὶ ἑξῆς ἐκ προσώπων ἀμοιβαίων· οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι σνθ′, ὧν προτίθεται ἐν ἀρχῇ τοῦ δράματος (v. 1) κῶλον ἰαμβικὸν μονόμετρον ἀκατάληκτον τὸ ‘ἰοὺ ἰού’. μετὰ δὲ τὸν σκα′ τίθεται ἐν εἰσθέσει κῶλον ἰαμβικὸν μονόμετρον ἀκατάληκτον καὶ μετὰ τὸν σλγ′ ἕτερον κῶλον ἰαμβικὸν μονόμετρον βραχυκατάληκτον. τελευταῖος δὲ πάντων τούτων οὗτος· (v. 262)

καταπαττόμενος γὰρ παιπάλη γενήσομαι.

ἐπὶ ταῖς ἀποθέσεσι τῶν συστημάτων παράγραφος. ἐπὶ δὲ τῷ τέλει πάντων τῶν στίχων κορωνίς.

Schol. rec. in Aristoph. *nub*. 263b. 1 sqq. (p. 45 Koster) $Tr^2$ εὐφημεῖν χρὴ τὸν πρεσβύτην] ἡ συστηματικὴ αὕτη ἀμοιβαία τοῦ ὕμνου εἴσθεσις ἐκ στίχων

ἐστὶν ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν ιβʹ, ὧν τελευταῖος· (v. 274)

ἐπακούσατε δεξάμεναι θυσίαν καὶ τοῖς ἱεροῖσι χαρεῖσαι.

καλεῖται δὲ τὸ μέτρον τοῦτο ἀριστοφάνειον, ὡς εἴπομεν. τὰ τοιαῦτα δὲ εἴδη καλεῖται ἑτερόστροφα. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος.

Schol. rec. in Aristoph. *nub*. 961b. 1 sqq. (p. 135 Koster) Tr[2] λέξω τοίνυν τὴν ἀρχαίαν] εἴσθεσις διπλῆς περιοδικῆς ἀμοιβαίας μονοστροφικῆς ὑφ᾽ ἓν διὰ τὸ εἰς μῆκος ἐκτείνεσθαι τὴν περίοδον ἐκ στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν εἰς συλλαβὴν μζʹ, ὧν τελευταῖος· (v. 1008)

ἦρος ἐν ὥρᾳ χαίρων, ὁπόταν πλάτανος πτελέᾳ ψιθυρίζῃ.

καλεῖται δὲ τοῦτο τὸ μέτρον ἐξόχως, ὡς εἴρηται, ἀριστοφάνειον· ὡς Ἡφαιστίων (p. 24. 20 sqq.) φησί, διὰ τὸ πολλῷ τοῦτον τούτῳ τῷ μέτρῳ χρήσασθαι, καὶ διὰ τὸ ἐν τοῖς παροῦσιν εὐδοκιμῆσαι ἀναπαίστοις λέγοντα· (v. 962)

ὅτ᾽ ἐγὼ τὰ δίκαια λέγων ἤνθουν.

ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει τῶν στίχων διπλῆ ἔξω νενευκυῖα.

Schol. rec. in Aristoph. *nub*. 1345a. 1 sqq. (p. 183 Koster) Tr[1] σὸν ἔργον ὦ πρεσβῦτα] κομμάτιον πρὸ τῆς διπλῆς καὶ κορωνὶς καὶ εἴσθεσις κώλων ηʹ … ἡ μὲν γὰρ πρώτη εἰσβολὴ τοῦ κομματίου καλεῖται εἴσθεσις, ἡ δὲ ἀπόθεσις ἤτοι τὸ τέλος αὐτοῦ ἔκθεσις, ἥτις δύο στίχων ἀεί ἐστιν ὁμοίων τοῖς ἐφεξῆς.

Schol. rec. in Aristoph. *nub*. 1444a. 1 sqq. (p. 193 Koster) Tr[1] τοῦθ᾽ ἕτερον αὖ] ἔκθεσις τῆς διπλῆς ἤτοι ἀπόθεσις κώλων ἰαμβικῶν ὀκτώ. … ἑξῆς δὲ ἐν ἐκθέσει στίχοι βʹ ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι.

Schol. in Aristoph. *pac*. 1b. 1 sqq. (p. 26 Holwerda) Tr αἶρ᾽ αἶρε] ἡ εἴσθεσις τοῦ δράματος ἐξ ἰαμβείων πʹ συνήθων. τὸ μέντοι ξʹ μονόμετρον ἀκατάληκτον. ἐπὶ ταῖς ἀποθέσεσι καὶ τῷ τέλει παράγραφος> Ald.

Schol. in Aristoph. *pac*. 114b. 1 sqq. (p. 26 Holwerda) Tr ὦ πάτερ] LhAld ὦ πάτερ] Lh σύστημα ἕτερον εἰς δύο διῃρημένον περιόδους … ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος LhAld.

Schol. in Aristoph. *pac*. 383b. 1 sqq. (p. 64 Holwerda) Tr εἰπέ μοι τί πάσχετ᾽] τὰ τοιαῦτα εἴδη καλεῖται ἑτερόστροφα καί εἰσι στίχων καὶ κώλων ιζʹ … ἐπὶ δὲ τῷ τελευταίῳ κώλῳ, τῷ· (v. 399)

δέσποτ᾽ ἀγαλοῦμεν ἀεί,

δύο διπλαῖ ἔξω νενευκυῖαι, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος LhAld.

Schol. in Aristoph. *pac*. 500a. 1 sqq. (p. 81 Holwerda) Tr ὦ ῎νδρες Μεγαρεῖς] ἕτερον σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς … καὶ ἐν εἰσθέσει ἕτερον ἀμοιβαῖον στίχων ὁμοίων καταληκτικῶν τετραμέτρων δʹ. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος LhAld.

Schol. in Aristoph. *pac*. 520a α. 1 sqq. (p. 84 Holwerda) Tr ὦ πότνια] εἴσθεσις διπλῆς ἀμοιβαίας στίχων ναʹ, ὧν οἱ μὲν λγʹ ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι, LhAld ὧν τελευταῖος· (v. 552)

τὰ γεωργικὰ σκεύη λαβόντας εἰς ἀγρόν, Lh

οἱ δὲ ἑξῆς ιηʹ τροχαϊκοὶ τετράμετροι καταληκτικοί, LhAld ὧν τελευταῖος· (v. 570)

καὶ τριαινοῦν τῇ δικέλλῃ διὰ χρόνου τὸ γήδιον.

ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα, καὶ ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος Lh.

Schol. in Aristoph. *pac*. 520a β. 6 (p. 84 Holwerda) Tr <ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει ἡ ἔξω διπλῆ> Ald.

Schol. in Aristoph. *pac*. 582b β. 1 sqq. (p. 93 Holwerda) Tr χαῖρε χαῖρ᾽ ὦ φίλταθ᾽] κορωνὶς καὶ εἴσθεσις χοροῦ μονοστροφικὴ κώλων κα′· LhAld <ὧν τὰ α′ ζ′ ιε′ τροχαικὰ ἑφθημιμερῆ· τὰ β′ ς′ ιδ′ δίμετρα ἀκατάληκτα· τὰ γ′ η′ ὅμοια, ἰωνικὰ μέντοι ἀπὸ μείζονος· τὰ δ′ θ′ ιη′ δακτυλικὰ πενθημιμερῆ· τὰ ε′ ια′ ιβ′ ις′ ιζ′ παιωνικὰ δίμετρα ἀκατάληκτα· τὸ ι′ ὅμοιον, ἰαμβικὸν μέντοι· τὸ ιγ′ παιωνικὸν ἑφθημιμερές· τὸ ιθ′ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον· ὁ κ′ κα′ ἐν ἐκθέσει στίχοι εἰσὶ τροχαικοὶ τετράμετροι καταληκτικοὶ ὅμοιοι τοῖς ἐν τῇ εἰσθέσει τῆς διπλῆς ἀμοιβαίας μη′. ἐπὶ τῷ τέλει τῶν μὲν τοῦ χοροῦ κορωνίς, τῆς δὲ διπλῆς ἡ ἔξω διπλῆ. ἐπὶ μέντοι ταῖς ἀποθέσεσιν ἡ συνήθης παράγραφος> Ald.

Schol. in Aristoph. *pac*. 603a. 1 sqq. (p. 95 Holwerda) Tr ὦ σοφώτατοι] εἴσθεσις διπλῆς ἀμοιβαίας. οἱ δὲ στίχοι εἰσὶ τροχαικοὶ τετράμετροι καταληκτικοὶ μη′, ὧν τελευταῖος· (v. 650)

> οὐ γὰρ ἡμέτερός τις ἔστ᾽ ἐκεῖνος ἀνήρ, ἀλλὰ σός.

ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα καὶ ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος Lh.

Schol. in Aristoph. *pac*. 658a. 1 sqq. (p. 103 Holwerda) Tr ἀλλ᾽ οὐκ ἂν εἴποι] κορωνὶς ἑτέρα ἀμοιβαία. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι οα′, ὧν τελευταῖος· (v. 728)

> ποθοῦντες ὑμᾶς ἀναμένουσ᾽ ἐστυκότες.

μετὰ δὲ τὸν λε′ κῶλον μονόμετρον βραχυκατάληκτον. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνὶς ἐξιόντων τῶν ὑποκριτῶν Lh.

Schol. in Aristoph. *pac*. 729c α. 1 sqq. (p. 112 Holwerda) Tr ἀλλ᾽ ἴθι χαίρων] ἡ παράβασις αὕτη οὐκ ἔστι τελεία, LhAld ἀλλ᾽ ἐλλιπής· τὸ μὲν γὰρ κομμάτιον ἔχει καὶ τὸ μακρὸν καλούμενον καὶ τὴν στροφὴν καὶ ἀντιστροφήν, Lh τοῦ δὲ ἐπιρρήματος καὶ ἀντεπιρρήματος ἐστέρηται. ἔστι τοίνυν τὸ μὲν κομμάτιον στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν ε′· τὸ δὲ μακρὸν στίχων ὁμοίων λγ′· ἡ δὲ ἔκθεσις LhAld τούτου κώλων ὁμοίων ἀναπαιστικῶν ι′, ὧν τὰ μὲν θ′ δίμετρα ἀκατάληκτα, τὸ δὲ ι′, τό· (v. 774)

> ἀνδρὸς τὸ μέτωπον ἔχοντος,

δίμετρον καταληκτικὸν ἑφθημιμερὲς παροιμιακόν. ἐπὶ ταῖς ἀποθέσεσι τοῦ τε κομματίου, τοῦ μακροῦ καὶ τῆς ἐκθέσεως τούτου παράγραφος Lh.

Schol. in Aristoph. *pac*. 943a α. 1 sqq. (p. 143 Holwerda) Tr ἐπείγετε LhAld νῦν Lh] τὰ τοιαῦτα εἴδη καλεῖται ἀλλοιόστροφα. εἰσὶ γοῦν τῆς μὲν πρώτης στροφῆς τὰ κῶλα ἀναπαιστικὰ δέκα ἐπιμεμιγμένα προκελευσματικοῖς … τῆς δευτέρας στροφῆς τὰ κῶλα τρία … τῆς τρίτης στροφῆς τὰ κῶλα ἀναπαιστικὰ τέσσαρα … τῆς δὲ τετάρτης στροφῆς τὰ κῶλα ἰωνικὰ ἀπὸ μείζονος ς′ ἐπιμεμιγμένα παίωσι καὶ κρητικοῖς, LhAld … ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι Lh.

Schol. in Aristoph. *pac*. 943a β. 26 sqq. (p. 144 Holwerda) Tr <τιθέσθωσαν δὲ κἀν ταῖς ἀποθέσεσιν αἱ παράγραφοι> Ald.

Schol. in Aristoph. *pac*. 1039b. 1 sqq. (p. 152 Holwerda) Tr ταυτὶ δέδραται] κορωνὶς εἰσιόντων ἑτέρων ὑποκριτῶν. οἱ δὲ στίχοι εἰσὶ πζ′ … ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἐπὶ τῷ τέλει κορωνίς LhAld.

Schol. in Aristoph. *pac*. 1191b. 1 sqq. (p. 170 Holwerda) Tr ἰοὺ ἰού] κορωνὶς εἰσιόντων τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι οη′, LhAld … ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει LhAld πάντων Lh κορωνίς LhAld.

Schol. rec. in Aristoph. *Plut*. 1a. 1 sqq. (p. 2 Chantry) ἡ εἴσθεσις τοῦ δράματος ἄρχεται ἐκ συστηματικῆς περιόδου, καὶ ἐξ ἀμοιβαίων. οἱ δὲ στίχοι εἰσὶν VatMt,ChisCoLPar,Barb³ ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι σμη΄ (*lege* σνβ΄). ὧν τελευταῖος· (v. 252)

τί γὰρ ἄν τις οὐχὶ πρὸς σὲ τἀληθῆ λέγοι.

ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἐπὶ δὲ τῷ τέλει κορωνὶς, καὶ ἑξῆς τούτων τὸ ‘χοροῦ’. ὤφειλε γὰρ χορὸν θεῖναι καὶ διατρῖψαι μικρὸν, ἄχρις ἂν ὁ Καρίων συμμίξῃ τοῖς γέρουσιν VatMt,ChisCoLPar,Barb³.

Schol. rec. in Aristoph. *Plut*. 487a. 1 sqq. (p. 129 Chantry) ἀλλ᾽ ἤδη χρῆν τι λέγειν] εἴσθεσις διπλῆς ἀμοιβαίας ἐκ στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν [καὶ ἀκατάληκτον], ὧν τελευταῖος· (v. 597)

τοὺς δὲ πένητας τῶν ἀνθρώπων ἁρπάζειν, πρὶν καταθεῖναι.

καλεῖται δὲ τοῦτο τὸ μέτρον ἀριστοφάνειον διὰ τὸ κατακόρως αὐτὸν τούτῳ χρήσασθαι. *tr*Mt,ChisCoLNp²PaReg,Barb³,Ba(Ald) οὐ μὴν εὑρηκέναι πρῶτον, ἐπεὶ καὶ παρὰ Κρατίνῳ καὶ πρὸ τούτου παρ᾽ Ἐπιχάρμῳ καὶ Ἀριστοξένῳ τῷ Σελινουντίῳ (IEG II, p. 45 West) Ἐπιχάρμου πρεσβυτέρῳ, ὡς Ἡφαιστίων φησί (p. 24. 20 sqq.), τούτῳ τινὰ τῷ μέτρῳ μνημονεύεται γεγραμμένα. Musurus ἐπὶ ταῖς ἀποθέσεσι τῶν συστημάτων παράγραφος. *tr*(Ald) ἐπὶ δὲ τῷ τέλει τῶν στίχων διπλῆ ἔξω νενευκυῖα *tr*Mt,ChisCoLPa,Barb³(Ald).

Schol. in Aristoph. *ran*. 398 (p. 287. 10 sqq. Dübner) ⟦Ἴακχε: Εἴσθεσις ἑτέρου μέλους διαιρεθέντος αὖθις τοῦ χοροῦ, ἐκ κώλων ὀκτωκαίδεκα· ὧν τὰ μὲν α′, β′, δ′, ϛ′, ιβ′, ιγ′, ιε′ τρίμετρα καταληκτικά· τὰ δὲ γ′, η′, θ′, ιδ′ δίμετρα ἀκατάληκτα. τὰ δὲ ε′, ια′, ιϛ′ καὶ τὸ τελευταῖον τρίμετρα ἀκατάληκτα. τὰ ζ′ καὶ ι′ ἑφθημιμερῆ. τὸ δὲ ιζ′ τετράμετρον καταληκτικόν. ἐν ταῖς ἀποθέσεσι τῶν συστημάτων παράγραφος.⟧ μεμιγμένως λέγει τὰ μὲν πρὸς τὸν Ζαγρέα Ἴακχον, τὰ δὲ πρὸς τὸν Διόνυσον V.

Schol. in Aristoph. *vesp*. 415. 1 sqq. (p. 68 Koster) Tr ὦ ᾽γαθοὶ τὸ πρᾶγμα] εἴσθεσις διπλῆς ἀμοιβαίας ἐκ στίχων μη′, ὧν οἱ πρῶτοι τρεῖς τροχαϊκοὶ τετράμετροι καταληκτικοί· οἱ ἑξῆς β′ ἀντισπαστικοὶ τρίμετροι ἀκατάληκτοι ἐπιμεμιγμένοι ἐπιτρίτοις καὶ διιάμβοις· οἱ ἑξῆς τούτων η′ τροχαϊκοὶ τετράμετροι ὅμοιοι τοῖς πρώτοις· οἱ τούτων ἑξῆς β′ ἀντισπαστικοὶ τρίμετροι ὅμοιοι τοῖς ῥηθεῖσιν· ὁ β′ δὲ τὸν β′ ἔχει πόδα πεντασύλλαβον. οἱ ἑξῆς δὲ πάντες τροχαϊκοὶ τετράμετροι καταληκτικοί, ὧν τελευταῖος· (v. 462)

εἴπερ ἔτυχον τῶν μελέων Φιλοκλέους βεβρωκότες.

ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος· ἐπὶ δὲ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα LhAld.

[*P.d'A.*]